ΙΕΡΟΣ ΝΑΟΣ ΠΑΝΑΓΙΑΣ ΦΑΝΕΡΩΜΕΝΗΣ

1η ΝΟΕΜΒΡΙΟΥ 2026, ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ

ΑΠΟΣΤΟΛΙΚΗ ΠΕΡΙΚΟΠΗ -Προς Κορινθίους Α' 12, 27 – 13, 8

Αρχαίο Κείμενο

Κεφ 12

27 Ἀδελφοί, Ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. 28 Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. 29 Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; 30 Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; 31 Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

Κεφ 13

1 Ἐάν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. 2 Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. 3 Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. 4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, 5 οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, 6 οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· 7 πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. 8 Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Μετάφραση

Κεφ 12 27 Αδελφοί, εσείς όλοι μαζί αποτελείτε το σώμα του Χριστού, και είστε μέλη του, ο καθένας σας χωριστά. 28 Γι' αυτό στην εκκλησία ο Θεός τοποθέτησε τον καθένα στην ορισμένη του θέση: πρώτα έρχονται οι απόστολοι, σε δεύτερη θέση οι προφήτες, σε τρίτη οι διδάσκαλοι, και ακολουθούν οι θαυματουργοί, οι θεραπευτές, αυτοί που παραστέκονται στις ανάγκες, οι διαχειριστές, όσοι λαλούν διάφορα είδη γλωσσών. 29 Δεν είναι όλοι απόστολοι ούτε όλοι προφήτες, ούτε όλοι διδάσκαλοι. Δεν είναι όλοι θαυματουργοί 30 ούτε όλοι θεραπευτές ούτε όλοι λαλούν γλώσσες κι ούτε όλοι ξέρουν πώς να τις εξηγούν. 31 Ο ζήλος σας, μάλιστα, πρέπει να στρέφεται προς τα σημαντικότερα χαρίσματα. Σας δείχνω κι έναν πολύ ανώτερο ακόμα δρόμο.

Κεφ 13 1 Αν μπορώ να λαλώ όλες τις γλώσσες των ανθρώπων, ακόμα και των αγγέλων, αλλά δεν έχω αγάπη για τους άλλους, οι λόγοι μου ακούγονται σαν ήχος χάλκινης καμπάνας ή σαν κύμβαλου αλαλαγμός. 2 Κι αν έχω της προφητείας το χάρισμα κι όλα κατέχω τα μυστήρια κι όλη τη γνώση, κι αν έχω ακόμα όλη την πίστη έτσι που να μετακινώ βουνά, αλλά δεν έχω αγάπη, είμαι ένα τίποτα. 3 Κι αν ακόμα μοιράσω στους φτωχούς όλα μου τα υπάρχοντα, κι αν παραδώσω στη φωτιά το σώμα μου για να καεί, αλλά δεν έχω αγάπη, σε τίποτα δε μ' ωφελεί. 4 Εκείνος που αγαπάει έχει μακροθυμία, έχει και καλοσύνη· εκείνος που αγαπάει δε ζηλοφθονεί· εκείνος που αγαπάει δεν κομπάζει ούτε περηφανεύεται, 5 είναι ευπρεπής, δεν είναι εγωιστής ούτε ευερέθιστος· ξεχνάει το κακό που του έχουν κάνει, 6 δε χαίρεται για το στραβό που γίνεται, αλλά μετέχει στη χαρά για το σωστό. 7 Εκείνος που αγαπάει, όλα τα ανέχεται· σε όλα εμπιστεύεται, για όλα ελπίζει, όλα τα υπομένει. 8 Ποτέ η αγάπη δε θα πάψει να υπάρχει.

ΚΥΡΙΑΚΗ Ε' ΛΟΥΚΑ, ΕΥΑΓΓΕΛΙΚΗ ΠΕΡΙΚΟΠΗ, ΛΟΥΚΑ Κεφ. 16, 19 – 31

Αρχαίο Κείμενο	**Μετάφραση**
19 Εἶπεν ὁ Κύριος· Ἄνθρωπος τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ᾽ ἡμέραν λαμπρῶς. 20 Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος 21 καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. 22 Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. 23 Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. 24 Καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. 25 Εἶπε δὲ Ἀβραάμ· τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· 26 καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. 27 Εἶπε δέ· ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· 28 ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. 29 Λέγει αὐτῷ Ἀβραάμ· ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. 30 ὁ δὲ εἶπεν· οὐχί, πάτερ Ἀβραάμ, ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.31 Εἶπε δὲ αὐτῷ· εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.	**19** Είπεν ο Κύριος: «Κάποιος άνθρωπος ήταν πλούσιος, φορούσε πολυτελή ρούχα και το τραπέζι του κάθε μέρα ήταν λαμπρό. 20 Κάποιος φτωχός όμως, που τον έλεγαν Λάζαρο, ήταν πεσμένος κοντά στην πόρτα του σπιτιού του πλουσίου, γεμάτος πληγές. 21 Αυτός προσπαθούσε να χορτάσει από τα ψίχουλα που έπεφταν από το τραπέζι του πλουσίου. Έρχονταν και τα σκυλιά και του έγλειφαν τις πληγές. 22 Πέθανε ο φτωχός, και οι άγγελοι τον πήγαν κοντά στον Αβραάμ. Πέθανε κι ο πλούσιος και θάφτηκε. 23 Στον άδη που ήταν και βασανιζόταν σήκωσε τα μάτια και είδε από μακριά τον Αβραάμ και κοντά του το Λάζαρο. 24 Τότε φώναξε ο πλούσιος και είπε: "πατέρα μου Αβραάμ, σπλαχνίσου με και στείλε το Λάζαρο να βρέξει με νερό την άκρη του δάκτυλού του και να μου δροσίσει τη γλώσσα, γιατί υποφέρω μέσα σ' αυτή τη φωτιά". 25 Κι ο Αβραάμ του απάντησε: "παιδί μου, θυμήσου ότι εσύ απόλαυσες την ευτυχία στη ζωή σου, όπως κι ο Λάζαρος τη δυστυχία. Τώρα όμως αυτός χαίρεται εδώ, κι εσύ υποφέρεις. 26 Κι εκτός απ' όλα αυτά, υπάρχει ανάμεσά μας μεγάλο χάσμα, ώστε αυτοί που θέλουν να διαβούν από 'δώ σ' εσάς να μην μπορούν, ούτε οι από 'κει να περάσουν σ' εμάς". 27 Είπε πάλι ο πλούσιος: "τότε σε παρακαλώ, πατέρα, στείλε τον στο σπίτι του πατέρα μου, 28 να προειδοποιήσει τους πέντε αδελφούς μου, ώστε να μην έρθουν κι αυτοί σ' αυτό τον τόπο των βασάνων". 29 Ο Αβραάμ του λέει: "έχουν τα λόγια του Μωϋσή και των προφητών· ας υπακούσουν σ' αυτά". 30 Εκείνος τότε του είπε: "όχι, πατέρα μου Αβραάμ· αν όμως κάποιος από τους νεκρούς πάει σ' αυτούς, θα μετανοήσουν". 31Του είπε ο Αβραάμ: "αν δεν υπακούνε στα λόγια του Μωϋσή και των προφητών, δε θα πειστούν ούτε κι αν αναστηθεί κάποιος από τους νεκρούς"».